ὁ ΕΖ πρὸς τὸν Η, καὶ ἀναστρέψαντι ὡς ὁ ἀπὸ τῆς Β πρὸς
ἀπὸ τῆς Δ, οὕτως ὁ ἀπὸ τοῦ Η πρὸς τὸν ἀπὸ τοῦ ΕΖ.
μετρεῖ δὲ τὸ ἀπὸ τῆς Β τὸ ἀπὸ τῆς Δ. μετρεῖ ἄρα καὶ
ὁ ἀπὸ τοῦ Η τετράγωνος τὸν ἀπὸ τοῦ ΕΖ. ὥστε καὶ
ἡ πλευρὰ αὐτῆς ὁ Η τὸν ΕΖ
μετρεῖ. μετρεῖ δὲ καὶ ἑαυτὸν ὁ Η.
ὁ Η ἄρα τοὺς ΕΖ Η μετρεῖ πρώ-
τους ὄντας πρὸς ἀλλήλους·
ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄ-
ρα σύμμετρός ἐστιν ἡ Α τῇ
Β μήκει. ἀσύμμετρος ἄρα :—



ρκα Εὑρημένων δὴ τῶν μήκει ἀσυμμέτρων εὐθειῶν ὡς τῶν ΑΒ.
εὑρίσκονται καὶ ἄλλα πλεῖστα μεγέθη ἐπὶ δύο διαστάσεων
... δὴ ἐστὶ τὰ ἐπίπεδα ἀσύμμετρα ἀλλήλοις. ἔστω γὰρ τῶν
ΑΒ μέση ἀνάλογον λαμβανομένη ἡ Γ. ἔστω ὡς ἡ Α
πρὸς τὴν Β, οὕτως τὸ ἀπὸ τῆς Α εἶδος πρὸς τὸ ἀπὸ
τῆς Γ τὸ ὅμοιον καὶ ὁμοίως ἀναγεγραμμένον εἴτε
τετράγωνα εἴτε καὶ ἄλλα ἀνα-
γεγραμμένα εἴτε ἕτε-
ρα εὐθύγραμμα ὅμοια
εἴτε κύκλοι περὶ διαμέ-
τρους τὰς ΑΓ. ἐπεὶ γὰρ
οἱ κύκλοι πρὸς ἀλλή-
λους εἰσὶν ὡς τὰ ἀπὸ
τῶν διαμέτρων τετρά-
γωνα· εὕρηνται ἄρα καὶ ἐπίπεδα χωρία ἀσύμμετρα



[illegible]

ἀλλήλοις :—
ρκβ Δεδειγμένων δὴ καὶ τῶν ἐπὶ δύο διαστάσεων διαφόρων
χωρίων ἀσυμμέτρων. δείξομεν τοῖς ἀπὸ τῆς τῶν
στερεῶν θεωρίας. ὅτι ἔστι καὶ στερεὰ σύμμετρά τε καὶ
ἀσύμμετρα ἀλλήλοις. ἐὰν γὰρ ἀπὸ τῶν ἀπὸ τῶν ΑΒ
τετραγώνων ἢ τῶν ἴσων αὐτοῖς
εὐθυγράμμων ἀναγράψωμεν ἰσο-
ϋψῆ στερεὰ παραλληλεπίπεδα
ἢ πυραμίδας ἢ πρίσματα,
ἔσται τὰ ἀναγραφέντα
πρὸς ἄλληλα ὡς αἱ βάσεις.
καὶ εἰ μὲν σύμμετροι ἐστὶν αἱ βά-
σεις, σύμμετρα ἔσται καὶ τὰ στε-
ρεά· εἰ δὲ ἀσύμμετροι, ἀσύμμετρα :—



ρκγ ἀλλὰ μὴν καὶ δύο κύκλων ὄντων τῶν ΑΒ, ἐὰν ἀπ' αὐτῶν
ἰσοϋψεῖς κώνους ἢ κυλίνδρους ἀναγράψωμεν,
ἔσονται πρὸς ἀλλήλους ὡς αἱ βάσεις. τουτέστιν
ὡς οἱ ΑΒ κύκλοι. καὶ εἰ μὲν σύμμετροι ἐστὶν οἱ κύκλοι,
σύμμετροι ἔσονται οἵ τε κῶνοι ἀλλήλοις καὶ οἱ κύλιν-
δροι. εἰ δὲ ἀσύμμετροι ἐστὶν οἱ κύκλοι, ἀσύμμετροι
ἔσονται καὶ οἱ κῶνοι καὶ οἱ κύλινδροι. καὶ φανερὸν ἡ-
μῖν γέγονεν ὅτι οὐ μόνον ἐπὶ γραμμῶν καὶ ἐπιφα-
νειῶν ἐστὶ συμμετρία τε καὶ ἀσυμμετρία. ἀλλὰ καὶ ἐπὶ
τῶν στερεῶν σχημάτων :—

τέλος τοῦ ι΄ τῶν Εὐκλείδου στοιχείων.